§. σν΄. Ἐν ὑπονοίᾳ δὲ πάλιν δυσὶ τρόποις ἡμᾶς εἶναι συμβαίνει· Ἤτοι μόνον ἑτέρωθεν λόγον τινὰ ὑπαθροῦντας, καὶ μηδὲ τοῦτον πάνυ ἐῤῥωμένον, μηδ᾽ ἀποχρῶντα παντὸς ἔξω δέους τὴν ψυχὴν ποιῆσαι, ἅτε δὴ μὴ τ᾽ἀληθὲς τῷ μέρει προσεῖναι, ἐναργῶς τε καὶ ἐκ τοῦ προφανοῦς συνιδεῖν παρεχόμενον, κατὰ τὸ εἰκὸς δέπως, καὶ ὁπωσοῦν ἐναλήθως· ἢ γοῦν ἑκατέρωθεν μὲν λόγων ὑποφαινομένων, ἐπιβριθεστέρου δὲ τοῦ ἑτέρου, καὶ ῥοπὴν εἰς τὸ πεῖσαι μείζονα ἔχοντος. Κἀνταῦθα δὲ εἴπερ ἀλλαχοῦ, τῆς σὺν ἐρεύνῃ τῇ προσηκούσῃ ἀμφισβητήσεως καὶ διασκέψεως χρεία. Δι᾽ ἧς, εἰ μὲν γένοιτο διὰ κρατίστων λόγων, καὶ πάντῃ ἀναντιῤῥήτων, τὴν κατὰ θάτερον ὑπεροχὴν ἐπιγνωσθῆναι, καὶ τὰ τῆς ὑπονοίας τέως εἰς περίνοιαν μεταστήσεται ἀκριβῆ· Εἰ δὲ μήγε, ἡ καὶ πρὶν ὑποῦσα ὑπόνοια ὑπολειφθήσεται. (1). Περιοῦσα δὲ, πεποιθότως, καὶ ἐνδοιασμοῦ παντὸς ἄνευ, τὸ δοκοῦν ἀποφήνασθαι οὐκ ἐπιτρέψει· τῷ δὲ κράτει τῆς ᾗ προσερείδεται πίστεως, κατὰ τὸ μᾶλλον ἢ ἧττον ταλαντευομένη, ὑπόληψίς τε καὶ δοξασία, ἔγγιον ἢ ἀπωτέρω τοῦ ἀληθοῦς γινομένη ἀκούσεται, τὸ μὲν δήπου, καὶ τὸ πάντως, καὶ ὅσα ἄλλα πληροφορίας ἀδιστάκτου μόρια ἐστὶν ἐνδεικτικὰ ἀποκλείουσα, τὸ δὲ ἴσως, καὶ τὸ τάχα, καὶ τάγε τούτοις ἰσοδύναμα τῷ λόγῳ παρεισάγουσα. (2).

(1) Εἰ μὲν ἰσάζοιεν ἀλλήλαις αἱ „κρίσεις (αἱ ἐναντίαι δηλ.) ὡς πρὸς πίστιν, ἐπέχειν ἀναγκαῖον ἡμᾶς ἔσται περὶ τῆς τοῦ πράγματος ὑπάρξεως. Εἰ δ᾽ ἡ ἑτέρα φαίνοιτο μακρῷ πιστοτέρα, συγκατατίθεσθαι μὲν, καὶ πράττειν γ᾽ ἔτι κατὰ τὴν συγκατάθεσιν, οὐκ ἀπερισκέπτως δέ. Καθάπερ εἰ καί τις τὴν ἡδονὴν ἀγαθὸν οἰόμενος ὑπάρχειν, ἔχει τι βραχὺ περιέλκον εἰς τοὐναντίον· ἢ εἰ μόνον τὸ καλὸν ἀγαθὸν ὑπολαμβάνων, ὅμως ἔτι καὶ αὐτὸς ἀντισπῶσαν ἑτέραν ὑπόληψιν ἔχει πρὸς τὸ μὴ διατεταμένως πιστεύειν. Γαλην. Ἐν τῷ περὶ τῶν Ἱπποκρ. καὶ Πλάτ. Δογμ. Βιβ. Ε΄. Κἂν μήτε λείπηται τῇ πιθανότητι, μήτε ὑπερέχῃ πολὺ, χαίρειν ἐᾷ τὰς δόξας, τὸ ἐπέχειν ἐν τοῖς ἀδήλοις τοῦ συγκατατίθεσθαι φιλοσοφώτερον ἡγούμενος. Πλουτ. περὶ τοῦ Πρώτου ψυχροῦ.

(2) „Καὶ ἀμφισβητοῦντες προστιθέασιν ἀεὶ τὸ ἴσως, καὶ τὸ τάχα. Ἀρισ. Ῥητορ. β΄.

ΚΕΦΑ-



# ΚΕΦ. ΔΕΥΤΕΡΟΝ.

## Περὶ Ἀληθείας καὶ ψεύδους, Καὶ περὶ τοῦ Βεβαίου, καὶ τοῦ Πιθανοῦ, καὶ περὶ Ἀπάτης.

§. σνα΄.

Ἐπεὶ δὲ πᾶσα ἡμῶν ἡ σπουδὴ, ἐπεχόντων, διαπορούντων, διασκεπτομένων, ζητούντων, τ᾽ἀληθὲς τέως τοῦ ψευδοῦς ᾗ δέον, ἐστὶ διακρίνειν, καὶ τὸ βέβαιον τοῦ πιθανοῦ καὶ κατὰ δόξαν ἀντιδιαστέλλειν, καὶ τὴν ἐκ τοῦ αἱρεῖσθαι τὸ δοκοῦν ἀντὶ τοῦ ὄντος, ἀπάτην ἐκκλίνειν, οὐ πάρεργον ἔσεσθαί μοι δοκεῖ, ἐὰν καὶ τούτων ἕκαστα ἐνταῦθα τεθῇ τίποτε ἐστὶ, καὶ ποσαχῶς λέγεται.

§. σνβ΄. Τὸ μὲν οὖν ἀληθὲς, περὶ οὗ ἐν γένει εἴρηται (Προδι. Γ΄. §. γ΄. καὶ Σημ.) λογικώτερον ἐνταῦθα καὶ ἐν πρώταις ἐννοίαις θεωρείσθω. καὶ ἐν σκέψεσι, καὶ ἐν κρίσεσι, καὶ ἐν συλλογισμοῖς. Ὡσαύτως δὲ καὶ τὸ ἀντιπεριϊστάμενον ψεῦδος, ἐν οἷσπερ ἂν ἔχοι παρείσδυσιν.

§. σνγ΄. Καὶ ἡ μὲν ἔννοια ἡ πρώτη, ἐὰν ᾖ τῶν ἁπλουστάτων (§. μβ΄.) εἴτε κατ᾽ αἴσθημα ἀνεπιλήπτως προσπίπτον (§. σμδ΄.) οἷον ἡ τῆς ἐκ τοῦ πυρὸς θερμότητος, εἴτε καὶ κατὰ νόημα εἰλικρινὲς ἐναργῶς παριστάμενον (§. σμε΄.) οἷον ἡ τοῦ ὄντος, ἡ τῆς ὑπάρξεως, ἀληθεύουσα ἀεὶ, καθ᾽ ἑαυτὴν θεωρουμένη. Καὶ τοῦτο ἡ κατὰ τὴν γνωστικὴν δύναμιν ἐνδοτάτη συνείδησις μαρτυρεῖ (§. ξζ΄.) οὐδὲ γὰρ ἄλλως πως ἑαυτὴν ἡ ψυχὴ ἐπιγιγνώσκειν ἔχει διακειμένην παρ᾽ ὃ διάκειται.

§. σνδ΄. Ἡ δὲ σύνθετος ἔννοια (§. μγ΄.) ἀληθής ἐστιν, ἐὰν δι᾽ αὐτῆς συνεπινοῆται τὰ φύσει συμβαίνοντα, οἷον ἡ τοῦ ἀνθρώπου ᾗ δίπους· ψευδὴς δὲ ἐὰν τὰ μὴ, οἷον ἡ τοῦ ἀνθρώπου ᾗ τετράπους. Δυνάμει δὲ τοῦτο ὑπολανθανούσης τινὸς κρίσεως. (§. ξζ΄.).

§. σνε΄. Ἡ δὲ συμπεπλεγμένη (§. μγ΄.) ἀληθὴς μὲν, ἐὰν μὴ ἀδυνάτως ἔχωσι συνεπινοεῖσθαι αἱ ἁπλούστεραι τῶν ἐννοιῶν, ἐξ ὧν συμπέπλεκται· οἷον ἄνθρωπος ἄχειρ, τετράπους· ὥστε οὐδὲν κωλύει, τὴν αὐτὴν ἀληθῆ μὲν εἶναι τῇ ἐπινοίᾳ, ψευδῆ δὲ (§. ἀνωτ.) φύσει· ψευδὴς δὲ, ἐὰν μὴ συνεπινοεῖσθαι ἔχωσιν

αἱ